www.tezaurliturgic.ro

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*
*(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*************************************************
******************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΗΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

# Χ Ρ Ι Σ Τ Ι Ν Α Ν

*

*

*   *   *   *   *

*

*

Ἀθῆναι 2012

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΗΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

# Χ Ρ Ι Σ Τ Ι Ν Α Ν

Ἡ μνήμη αὐτῆς τελεῖται τῇ ΚΔ΄ Ἰουλίου.

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

*******************

**Εὐλογήσαντος τοῦ Ἱερέως τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος, ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ΄ . Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Μ**εγαλομάρτυρα Κυρίου, Χριστῖναν,
βδελυξαμένην τὴν πατρῴαν ἀπάτην
καὶ παριδοῦσαν εὔκλειαν καὶ κάλλος σαρκὸς
μέλψωμεν κραυγάζοντες· Καλλιπάρθενε δούλη
τοῦ Χριστοῦ, κατάπεμψον οὐρανόθεν σὴν χάριν
ἐπὶ τοὺς πίστει σπεύδοντας λιταῖς
σαῖς διαθέρμοις Αὐτὸν πρὸς τὸν εὔσπλαγχνον.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

**Ο**ὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Χριστῖνα Μάρτυς, ἰσχύος ἡμᾶς πλῆσον. Χ. Μ."**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

**Χ**ριστῖνα, Μαρτύρων ἡ καλλονή,
ἡ κάλλος προσώπου
καὶ νεότητος τὴν ἀκμὴν
ἐμφρόνως, στεῤῥόφρον, παριδοῦσα,
Χριστὸν ἡμῖν σὸν Νυμφίον ἱλέωσαι.

Ῥοάς μου δακρύων τῶν σῶν εὐχῶν
ἀπόσμηξον μάκτρῳ,
καλλιμάρτυς τοῦ Ἰησοῦ,
Χριστῖνα, στολήν σου παρθενίας
ἡ ταῖς ῥοαῖς σῶν αἱμάτων λαμπρύνασα.

Ἱκάνωσον πάντας σοὺς ὑμνητὰς
τυχεῖν ψυχοτρόφου
μετανοίας, ἡ τοῦ πατρὸς
εἰδώλων ἀπάτην βδελυχθεῖσα,
Χριστῖνα Μάρτυς, ὡράϊσμα πίστεως.

**Θεοτοκίον.**

Στηρίζουσα βίου ἐν πειρασμοῖς
μὴ παύσῃ σοὺς δούλους,
ὑπερύμνητε Μαριάμ,
πολλῆς μητρικῆς σου παῤῥησίας
τῇ βακτηρίᾳ πρὸς Τόκον τὸν θεῖόν σου.

**ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Τῆς ψυχῆς σου τὸ κάλλος
ὁλοσχερῶς Κτίσαντος
ἡ καθιερώσασα Λόγῳ
καὶ ὑπομείνασα
τρῶσιν πλευρᾶς δι' Αὐτόν,
Χριστῖνα Μεγαλομάρτυς,
ῥῦσαι τοὺς ἱκέτας σου
βλάβης τοῦ ὄφεως.

Ἰσχυροὺς ὑμνητάς σου
δεῖξον, ἀμνὰς ἄσπιλε
τοῦ Χριστοῦ, στεῤῥόφρον Χριστῖνα,
Μάρτυς μεγάλαθλε,
ἐν τοῖς ἀγῶσιν αὐτῶν
κατὰ παθῶν χαμαιζήλων,
πειρασμῶν, στενώσεων,
ἄλγους καὶ θλίψεων.

Νίκας δίδου μοι, Μάρτυς,
Χριστοῦ ἀμνὰς ἄσπιλε,
Τύρου πανευσήμου, Χριστῖνα,

ἄνθος μυρίπνοον,
κατὰ τοῦ γένους ἡμῶν
τοῦ πτερνιστοῦ καὶ βεβήλου
τῆς κακίας ἄρχοντος,
σαῖς παρακλήσεσι.

**Θεοτοκίον.**

Ἀπαθείας πρὸς ὕψος,
Μῆτερ Θεοῦ, ἕλκυσον
Κεχαριτωμένη Παρθένε,
σὲ μεγαλύνοντας
μελισταγέσιν ᾠδαῖς
καὶ ἐν παθῶν τρικυμίαις
σπεύδοντας, πανύμνητε
τῇ προστασίᾳ σου.

Διάσωσον
τοὺς σοὺς ἱκέτας, Χριστῖνα, ἀπὸ κινδύνων,
περιστάσεων, πειρασμῶν, δεινῶν καὶ κακώσεων
ὑμνοῦντας σὴν ἄθλησιν, καλλιμάρτυς.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Χριστῖνα, Χριστοῦ ἀμνὰς σεπτὴ καὶ ἄσπιλε,
Μαρτύρων στεῤῥῶν τῆς πίστως λευκάνθεμον,
εὐσεβέσιν ἱλέωσαι
σὸν Νυμφίον τοῖς ὕμνοις γεραίρουσι
τῆς σῆς καρδίας καὶ τῆς σῆς πλευρᾶς
τὴν τρῶσιν καὶ ἄθλησιν τὴν πάνσεπτον.

**ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Μαρτυρίου τοῖς σκάμμασιν
ἡ προθύμως, Μάρτυς, ἀκολουθήσασα
μαρτυρεῖν ἡμᾶς τὸ ὄνομα
τοῦ Χριστοῦ ἐν βίῳ καταξίωσον.

www.tezaurliturgic.ro


**Α**ἱματόχρουν ἱμάτιον
φέρουσα ψυχῆς σου Χριστῷ ἀνέδραμες
ὑπαντῆσαι τῷ παρέχοντι
σαῖς εὐχαῖς, Χριστῖνα, πᾶσιν ἔλεος.

**Ῥ**αντισμῷ σῶν δεήσεων
πάντας καθαγίαζε τοὺς τιμῶντάς σε
σεμνολόγημα ὡς πίστεως
καὶ πηγήν, γενναιότητος.

**Θεοτοκίον.**

**Τ**ῆς μανίας ἐξάρπασον
τοῦ ἐχθροῦ, Παρθένε, τοὺς ἀνυμνοῦντάς σε
ὡς διάσωσμα τῶν δούλων σου
καὶ θαυμάτων βρύσιν ἀκεσώδυνον.

**ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.**

**Ὕ**βρεις σοῦ πατρὸς
καὶ εἱρκτήν, Σεμνή, καὶ ἄθλησιν
ὑπομείνασα φρονήματι στεῤῥῷ
χάριν εὗρες ἱλεοῦσθαι ἡμῖν Κύριον.

**Σ**ὲ τροχοῦ δεινὰ
τῆς ἀγάπης οὐκ ἐχώρισαν
τοῦ Νυμφίου σου, Χριστίνα, Ἰησοῦ,
τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

**Ἴ**θυνον ἡμᾶς
πρὸς τοῦ πόλου, Μάρτυς, δώματα,
ὧν, Χριστῖνα, ἀπολαύεις ὡς λαμπρῶν
ἀθληφόρων πολυτίμητος διάκοσμος.

**Θεοτοκίον.**

**Σ**τήριξον ἡμᾶς
ἐν τῇ πίστει, Μητροπάρθενε,
μεγαλύνοντάς σε ὕμνοις μελιχροῖς,
Κεχαριτωμένη, ῥάβδῳ σῶν δεήσεων.

www.tezaurliturgic.ro


**Ὠδὴ στ´. Τὴν δέησιν.**

Χριστώνυμε Μάρτυς, καλλιπάρθενε,
Οὐρβανοῦ, εἰδώλων λάτρεως γόνε,
ἡ τοῦ Χριστοῦ μεγαλύνασα πίστιν
ἀνδρειοτάτῳ, Χριστῖνα, φρονήματι
ἴσθι ἡμῶν ἐν πειρασμοῖς
ἀρωγός, ἀντιλήπτωρ καὶ πρόμαχος.

Ὑφέρποντος ἰοβόλου ὄφεως
τῶν ὀδόντων με ἐξάρπασον τάχος
ἱκεσιῶν σου, Χριστῖνα, δυνάμει
πρὸς τὸν οὐράνιον, Μάρτυς, Νυμφίον σου,
ἡ λυτρωθεῖσα προσβολῶν
τοῦ ἐχθροῦ θείῳ σθένει, καλλίνικε.

Οἱ Ἄγγελοι τοῦ Χριστοῦ ἀνήγαγον
ἐν βυθοῦ σε θαλαττίου, Χριστῖνα,
εἰς ὃν πατήρ σου σὲ ἔῤῥιψε, Μάρτυς,
μεθ' ὧν συγχαίρεις ἐν πόλου νῦν δώμασι
καθικετεύουσα θερμῶς
σὸν Νυμφίον ὑπὲρ τῶν τιμώντων σε.

**Θεοτοκίον.**

Συνέσεως δὸς σοῖς δούλοις νάματα,
ὑπερύμνητε, πιεῖν, Θεοτόκε,
πηγὴ ἀστείρευτε ὕδατος ζῶντος,
ἡ τῶν βροτῶν τὰς ψυχὰς ἀναψύχουσα
καὶ ἁγιάζουσα ἡμᾶς
διὰ Τόκου πανσέπτου σου, Δέσποινα.

Διάσωσον
τοὺς σοὺς ἱκέτας, Χριστῖνα, ἀπὸ κινδύνων,
περιστάσεων, πειρασμῶν, δεινῶν καὶ κακώσεων
ὑμνοῦντας σὴν ἄθλησιν, καλλιμάρτυς.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β´. Τοῖς τῶν αἱμάτων σου.**

Τὴν ἀθληφόρον Χριστοῦ εὐφημήσωμεν
ἀρνησαμένην πατρῴαν ἀσέβειαν
καὶ μαρτυρίου πρὸς τρίβους χωρήσασαν,
σεπτὴν Χριστῖναν, ἧς πάντες προσφεύγομεν
θερμαῖς λιταῖς πρὸς τὸν εὔσπλαγχνον Κύριον.

**Προκείμενον.** Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.
**Στίχος.** Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

**Εὐαγγέλιον· κατὰ Μάρκον (Κεφ. ε´ 24 - 34 ).**
**Ζήτει τῇ Δευτέρᾳ τῆς ΙΕ´ Ἑβδομάδος Ματθαίου.**

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τὸν Ἰησοῦν ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ’ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γάρ· Ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πληγὴ τοῦ αἵματος αὐτῆς· καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ ὕψους δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· Τίς μου ἥψατο; Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνή, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ’ αὐτῇ, ἦλθε καὶ περιέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

**Δόξα.** Ταῖς τῆς Ἀθληφόρου πρεσβείαις, Ἐλεῆμον,...

**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

**Προσόμοιον. Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

**Ν**ύμφη τοῦ Παντάνακτος,
Μεγαλομάρτυς Χριστῖνα,
ἁπαλῷ ἐν σώματι
ἀνδρικὸν ἡ φρόνημα
κατακρύπτουσα
καὶ ψυχῆς ἅπασι
κάλλος ἡ δεικνῦσα,
μὴ ἐλλείπῃς τὸν Νυμφίον σου
καθικετεύουσα
τὸν ἐν οὐρανοῖς, καλλιπάρθενε,
διδόναι τοῖς τιμῶσί σε
ἄμφω τῆς ψυχῆς καὶ τοῦ σώματος,
δύναμιν τε ῥῶσιν,
ὑγίειαν καὶ σθένος τὸν ἐχθρὸν
καταπαλαίσαι τὸν δόλιον,
πλάνον καὶ μισόκαλον.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

**Ἡ** λιποῦσα τὴν πλάνην
τοῦ πατρός σου, ἀλκίφρον,
καὶ θείαν ἔλλαμψιν,
Χριστῖνα, δεξαμένη
Χριστοῦ τῆς ἀληθείας,
τοῖς τιμῶσί σε βράβευσον
ῥῶσιν πατῆσαι ἐχθροῦ
ὀφρὺν τὴν ἐπηρμένην.

**Μ**ελῳδοῦντες σὴν μνήμην
τὴν ἁγίαν, Χριστῖνα,
σὲ ἱκετεύομεν·
Βοήθει σοῖς ἱκέταις
ὁδὸν καλῶς ἀνῦσαι
τὴν πρὸς πόλον ἀπάγουσαν,
ἣν ἄθλοιςς σοῖς ἱεροῖς
διήνυσας προθύμως.

Ἀθληφόρε Χριστῖνα,
μαρτυρίου σου πόνους
λαμπροὺς γεραίροντες,
δι' ὧνπερ κληρονόμος
ἐπώφθης θείας δόξης,
δυσωποῦμέν σε· Πρέσβευε
τῷ σῷ Νυμφίῳ Χριστῷ
ὑπὲρ τῶν σῶν προσφύγων.

**Θεοτοκίον.**

Σῶν εὐχῶν, Θεοτόκε,
τῷ ὑσσώπῳ, σῶν δούλων
ταχὺ ἀπόπλυνον
τὸν βόρβορον, Παρθένε,
Χριστίνης ἱκεσίαις
εὐκλεοῦς καλλιμάρτυρος,
νύμφης σεμνῆς σοῦ Υἱοῦ,
ὑπερευλογημένη.

**ᾨδὴ η΄. Τὸν Βασιλέα.**

Πλῆσον καρδίας
τῶν σὲ τιμώντων, Χριστῖνα,
σθένους θείου καὶ πέμψον σὴν χάριν
πᾶσιν ἀνυμνοῦσι
σοῦ μαρτυρίου πόνους.

Λαμπὰς ἀνδρείας
καὶ ψυχικῆς εὐρωστίας,
λάμψον φῶς σοῖς ἱκέταις, Χριστῖνα,
μεγαλύνουσί σε
ὡς ἀθληφόρων κέρας.

Ἡ ἐν σταδίῳ,
Μεγαλομάρτυς Χριστῖνα,
τοῦ Χριστοῦ μεγαλύνασα κλῆσιν,
πέμψον μοι σὴν χάριν
ἀφθόνως οὐρανόθεν.

**Θεοτοκίον.**

Στεῤῥῶς σοὺς δούλους
ἐν μάχαις ταῖς καθ' ἡμέραν

ἀγωνίζεσθαι, Μῆτερ Ἁγία,
Κεχαριτωμένη,
ἀξίωσον, Παρθένε.

**ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ὁδοὺς τοῦ μαρτυρίου
ἡ καλῶς, Χριστῖνα
Μεγαλομάρτυς, βαδίσασα, δεῖξόν μοι
τῆς τελειώσεως τρίβους, ἀμνὰς τοῦ Κτίσαντος.

Νομίμως ἐν σταδίῳ
ἡ ἀγωνισθεῖσα,
μὴ διαλείπῃς, Χριστῖνα, πρεσβεύουσα
ὑπὲρ πιστῶν ὑμνητῶν σου τῷ Παντοκράτορι.

Χαρίτων οὐρανίων
ἔμπλησον, Χριστῖνα,
τοὺς καταφεύγοντας πίστει σῇ χάριτι
καὶ μεγαλύνοντας πόθῳ σὰ κατορθώματα.

**Θεοτοκίον.**

Μετὰ τῆς ἀθληφόρου
πρέσβευε Χριστίνης
ὑπὲρ ἡμῶν σῷ Υἱῷ, Μητροπάρθενε,
εὐλογημένη Κυρία, Θεογεννήτρια.

Ἄξιόν ἐστι..... **καὶ τὰ παρόντα Μεγαλυνάρια.**

Χαίροις, νύμφη ἄσπιλε τοῦ Χριστοῦ,
ἡ πατρὸς λιποῦσα
τὴν ἀπάτην καὶ εὐκλεῶς
ἀγωνισαμένη
ὑπὲρ τῆς εὐσεβείας,
Χριστῖνα καλλιμάρτυς,
πίστεως πρόβολε.

Χαίροις, ἡ χριστώνυμος ἀληθῶς
πρώταθλος σταδίου,
ἡ αἰσχύνασα σοῦ πατρὸς
πλάνην σῇ ἐνστάσει,
πολύαθλε Χριστῖνα,
καὶ τρῶσιν σῆς καρδίας

www.tezaurliturgic.ro


καθυπομείνασα.

**Δ**εῦτε μεγαλύνωμεν ἐν χορῷ
Οὐρβανοῦ ἀπίστου
θυγατέρα τὴν εὐσεβῆ,
πάνσεμνον Χριστῖναν,
Χριστοῦ τὴν παῤῥησίᾳ
τὴν κλῆσιν ὁλοθύμως
ὁμολογήσασαν.

**Φ**ρούρει καὶ ἁγίαζε τοὺς πιστῶς
μεγαλύνοντάς σε
εὐσεβειας ὡς φρυκτωρὸν
καὶ φανὸν ἀνδρείας,
Χριστῖνα καλλιμάρτυς,
ἡ λύσασα εἰδώλων
λάτρεων ζόφωσιν.

**Ῥ**ῦσαι τοὺς ἱκέτας σου συμφορῶν,
θλίψεων παντοίων,
ἀλγηδόνων καὶ λυπηρῶν
τοὺς ἀνευφημοῦντας
σὴν ἄθλησιν, Χριστῖνα,
διὰ Χριστοῦ τὴν πίστιν
τὴν παναμώμητον.

**Λ**όγου τοῦ Ὑψίστου Θεοῦ ἀμνάς,
ἔνδοξε Χριστῖνα,
μεγαλάθλων ἡ καλλονή,
χάριν οὐρανόθεν
ὑπὲρ ἡμῶν πρεσβεύειν
Χριστῷ τῷ σῷ Νυμφίῳ,
Μάρτυς, ἀπείληφας.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

www.tezaurliturgic.ro


Τοῦ Χριστοῦ τὴν συνώνυμον νύμφην μέλψωμεν
πατρὸς λιποῦσαν ἀπάτην
καὶ δι' ἀγάπην Χριστοῦ
τὴν καρδίαν καὶ πλευρὰν τρωθεῖσαν ξίφεσιν
ὕμνοις Χριστῖναν εὐλαβῆ
καλλιμάρτυρα φαιδροῖς
βοῶντες· Ἀμνὰς καλλίστη
τοῦ Ἀρχιποίμενος Λόγου
Θεοῦ, ἡμᾶς εὐχαῖς σου στήριξον.

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Κάλλει διαπρέπουσαν σαρκός,
Μάρτυρα Κυρίου, Χριστῖναν,
ὡς παριδοῦσαν ἀκμὴν
μέλψωμεν νεότητος
καὶ κάλλος ἄφθιτον
Κτίστῃ καθιερώσασαν
ψυχῆς καὶ Κυρίῳ
κράζοντες· Χριστώνυμε,
ἀπαύστως πρέσβευε
δοῦναι τοῖς πιστῶς σε τιμῶσιν
ἄμφω ῥῶσιν, δύναμιν, σθένος
καὶ ἰσχύν, ἀρίστη, ἀδιάπτωτον.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δίστιχον.**

**Χριστῖνα Μάρτυς ὑμνητάς σου ἴθυνε**
**πρὸς πόλου σκηνώσεις Χαραλάμπης ψάλλει.**

**Τ Ε Λ Ο Σ ΚΑ Ι Δ Ο Ξ Α**
**Τ Ω Μ Ο Ν Ω Α Λ Η Θ Ι Ν Ω Θ Ε Ω Η Μ Ω Ν**